# Ferekýdés ze Syru

Fragmenta DK 7 B

**B 1** /1 = Diogenés Laertios, Vitae philosophorum I, 119
Ζὰς μὲν καὶ Χρόνος ἦσαν ἀεὶ καὶ Χθονίη· Χθονίηι δὲ ὄνομα ἐγένετο Γῆ, ἐπειδὴ αὐτῆι Ζὰς γῆν γέρας διδοῖ.

**B 1** /2 = Héródiános, Περὶ μονήρους λέξεως 6, 14-16 (2, 911.7-9 Lentz)
Text podle Diels-Kranz (jiné čtení viz Schibli F 61):
καὶ γὰρ Δίς καὶ Ζήν καὶ Δήν καὶ Ζάς παρὰ Φερεκύδηι κατὰ κίνησιν ἰδίαν.

**B 1a** = Achilles Tatius, Isagoga excerpta 3, 28 (31, 28 Maass)
Θαλῆς δὲ ὁ Μιλήσιος καὶ Φερεκύδης ὁ Σύριος ἀρχὴν τῶν ὅλων τὸ ὕδωρ ὑφίστανται, ὃ δὴ καὶ Χάος καλεῖ ὁ Φερεκύδης, ὡς εἰκὸς τοῦτο ἐκλεξάμενος παρὰ τοῦ Ἡσιόδου οὕτω λέγοντος (Theogonia 116) ᾽ἤτοι μὲν πρώτιστα Χάος γένετο᾽. παρὰ γὰρ τὸ χεῖσθαι [ὑπολαμβάνει] τὸ ὕδωρ χάος ὠνόμασται.

**B 2** /1 = Grenfell-Hunt Greek Papyri, Ser. II, n. 11; p. 23
(col. 1)
[αὐ]τῶι ποιοῦσιν τὰ οἰκία πολλά τε καὶ μεγάλα. ἐπεὶ δὲ ταῦτα ἐξετέλεσαν πάντα καὶ χρήματα καὶ θεράποντας καὶ θεραπαίνας καὶ τἆλλα ὅσα δεῖ πάντα, ἐπεὶ δὴ πάντα ἑτοῖμα γίγνεται, τὸν γάμον ποιεῦσιν. κἀπειδὴ τρίτη ἡμέρη γίγνεται τῶι γάμωι, τότε Ζὰς ποιεῖ φᾶρος μέγα τε καὶ καλὸν καὶ ἐν αὐτῶι [ποικίλλει Γῆν] καὶ ᾽Ωγη[νὸν καὶ τὰ ᾽Ω]γηνοῦ [δώματα...
(col. 2)
βουλόμενος] γὰρ σέο τοὺς γάμους εἶναι τούτωι σε τι[μῶ]. σὺ δέ μοι χαῖρέ τε καὶ σύνισθι. ταῦτά φασιν ἀνακαλυπτήρια πρῶτον γενέσθαι· ἐκ τούτου δὲ ὁ νόμος ἐγένετο καὶ θεοῖσι καὶ ἀνθ[ρώποι]σιν. ἡ δέ μι[ν ἀμείβε]ται δεξαμ[ένη εὖ τὸ] φᾶ[ρος]...

**B 2** /2 = Kléméns Alexandrijský, Stromata VI, 9, 3-4
αὖθίς τε Ὁμήρου ἐπὶ τῆς ἡφαιστοτεύκτου ἀσπίδος εἰπόντος (*Íllias* XVIII, 483. 607)·

> ἐν μὲν γαῖαν ἔτευξ᾽, ἐν δ᾽ οὐρανόν, ἐν δὲ θάλασσαν·
> ἐν δ᾽ ἐτίθει ποταμοῖο μέγα σθένος ᾽Ωκεανοῖο.

Φερεκύδης ὁ Σύριος λέγει·
Ζὰς ποιεῖ φᾶρος μέγα τε καὶ καλὸν καὶ ἐν αὐτῶι ποικίλλει Γῆν καὶ Ὠγηνὸν καὶ τὰ Ὠγηνοῦ δώματα.

**B 2** /3 = Isidoros Basileidés apud: Kléméns Alexandrijský, Stromata VI, 53, 5 (ex Isidoro gnostico)
καὶ γάρ μοι δοκεῖ τοὺς προσποιουμένους φιλοσοφεῖν, ἵνα μάθωσι τί ἐστιν ἡ ὑπόπτερος δρῦς καὶ τὸ ἐπ᾽ αὐτῆι πεποικιλμένον φᾶρος, πάντα ὅσα Φερεκύδης ἀλληγορήσας ἐθεολόγησεν λαβὼν ἀπὸ τῆς τοῦ Χὰμ προφητείας τὴν ὑπόθεσιν.

**B 3** = Proklos, in Tim. 32c; II,54,28 Diehl
καὶ ἴσως πρὸς τοῦτο ἀποβλέπων καὶ ὁ Φερεκύδης ἔλεγεν εἰς Ἔρωτα μεταβεβλῆσθαι τὸν Δία μέλλοντα δημιουργεῖν, ὅτι δὴ τὸν κόσμον ἐκ τῶν ἐναντίων συνιστὰς εἰς ὁμολογίαν καὶ φιλίαν ἤγαγε καὶ ταυτότητα πᾶσιν ἐνέσπειρε καὶ ἕνωσιν τὴν δι᾽ ὅλων διήκουσαν.

**B 4**/ 1 = Kelsos, *Aléthés logos*, apud: Órigenés, Contra Celsum VI, 42 (II,111,13-22 Koetschau)
Φερεκύδην δὲ πολλῶι ἀρχαιότερον γενόμενον Ἡρακλείτου μυθοποιεῖν στρατείαν στρατείαι παραταττομένην καὶ τῆς μὲν ἡγεμόνα Κρόνον [ἀπο]διδόναι, τῆς ἑτέρας δ᾽ Ὀφιονέα, προκλήσεις τε καὶ ἁμίλλας αὐτῶν ἱστορεῖν, συνθήκας τε αὐτοῖς γίγνεσθαι, ἵν᾽ ὁπότεροι αὐτῶν εἰς τὸν Ὠγηνὸν ἐμπέσωσι, τούτους μὲν εἶναι νενικημένους, τοὺς δ᾽ ἐξώσαντας καὶ νικήσαντας τούτους ἔχειν τὸν οὐρανόν. τούτου δὲ τοῦ βουλήματός φησιν ἔχεσθαι καὶ τὰ περὶ τοὺς Τιτᾶνας καὶ Γίγαντας μυστήρια θεομαχεῖν ἀπαγγελλομένους, καὶ τὰ παρ᾽ Αἰγυπτίοις περὶ Τυφῶνος καὶ Ὥρου καὶ Ὀσίριδος.

**B 4** /2 = Filón z Byblu in: Eusebios, Praeparatio evangelica I,10,50 (p. 53 Mras; FGrH 790 F 4)
παρὰ Φοινίκων δὲ καὶ Φερεκύδης λαβὼν τὰς ἀφορμὰς ἐθεολόγησε περὶ τοῦ παρ᾽ αὐτῶι λεγομένου Ὀφιονέως θεοῦ καὶ τῶν Ὀφιονιδῶν, περὶ ὧν αὖθις λέξομεν.

**B 4** /3 = Tertullianus, De corona militis 7,4 (p. 1048m Kroymann) = Diodorus Siculus 6,4
Saturnum Pherecydes ante omnes refert coronatum, Iovem Diodorus (VI,4) post devictos Titanas hoc munere a ceteris honoratum.

**B 5** = Kelsos, *Aléthés logos*, in: Órigenés, Contra Celsum VI,42 (II,112,20 Koetschau)

καὶ διηγούμενός γε τὰ Ὁμηρικὰ ἔπη (*Illias* XV,18; I,590) φησὶ λόγους εἶναι τοῦ θεοῦ πρὸς τὴν ὕλην τοὺς λόγους τοῦ Διὸς πρὸς τὴν Ἥραν, τοὺς δὲ πρὸς τὴν ὕλην λόγους αἰνίττεσθαι, ὡς ἄρα ἐξ ἀρχῆς αὐτὴν πλημμελῶς ἔχουσαν διαλαβὼν ἀναλογίαις τισὶ συνέδησε καὶ ἐκόσμησεν ὁ θεός, καὶ ὅτι τοὺς περὶ αὐτὴν δαίμονας, ὅσοι ὑβρισταί, τούτους ἀπορριπτεῖ κολάζων αὐτοὺς τῆι δεῦρο ὁδῶι. ταῦτα δὲ τὰ Ὁμήρου ἔπη οὕτω νοηθέντα τὸν Φερεκύδην φησὶν εἰρηκέναι τὸ ᾿κείνης δὲ τῆς μοίρας ἔνερθέν ἐστιν ἡ ταρταρίη μοῖρα· φυλάσσουσι δ᾿ αὐτὴν θυγατέρες Βορέου Ἅρπυιαί τε καὶ Θύελλα· ἔνθα Ζεὺς ἐκβάλλει θεῶν ὅταν τις ἐξυβρίσηι᾿. τῶν τοιούτων δέ φησιν ἔχεσθαι νοημάτων καὶ τὸν [περὶ] τῆς Ἀθηνᾶς πέπλον ἐν τῆι πομπῆι τῶν Παναθηναίων ὑπὸ πάντων θεωρούμενον. δηλοῦται γάρ, φησίν, ἀπ᾿ αὐτοῦ, ὅτι ἀμήτωρ τις καὶ ἄχραντος δαίμων ἐπικρατεῖ θρασυνομένων τῶν γηγενῶν.

**B 6** /1 = Porfyrios, De antro nympharum 31
... καὶ τοῦ Συρίου Φερεκύδου μυχοὺς καὶ βόθρους καὶ ἄντρα καὶ θύρας καὶ πύλας λέγοντος καὶ διὰ τούτων αἰνιττομένου τὰς τῶν ψυχῶν γενέσεις καὶ ἀπογενέσεις...

**B 6** /2 = Proklos, In Platonis Timaeum commentaria 29a; I,333,28 D.
τῶν παλαιῶν ἄντρον καλούντων τὸν κόσμον καὶ φρουρὰν (44 B 15) καὶ σπήλαιον...

**B 7** = Pseudo-Galénos (Porfyrios), ad Gaurum 2, 2; p. 34, 26n. Kalbfleisch
τοῦ μὲν ὅταν καταβληθῇ τὸ σπέρμα τὸν καιρὸν τοῦτον ἀποδιδόντος ὡς ἂν μηδ' οἵου τε ὄντος ἐν τῇ μήτρᾳ γονίμως κρατηθῆναι μήτι γε ψυχῆς ἔξωθεν τῇ εἰσκρίσει ἑαυτῆς τὴν σύμφυσιν ἀπεργασαμένης – κἀνταῦθα πολὺς ὁ Νουμήνιος καὶ οἱ τὰς Πυθαγόρου ὑπονοίας ἐξηγούμενοι, καὶ τὸν παρὰ μὲν τῶι Πλάτωνι (Respublica X, 621a) ποταμὸν Ἀμέλητα, παρὰ δὲ τῶι Ἡσιόδωι καὶ τοῖς Ὀρφικοῖς τὴν Στύγα, παρὰ δὲ τῶι Φερεκύδηι τὴν ἐκροὴν ἐπὶ τοῦ σπέρματος ἐκδεχόμενοι.

**B 8** = Scholia in Apollonium Rhodium I, 645
Φερεκύδης δέ φησιν ὅτι δῶρον εἶχε παρὰ τοῦ Ἑρμοῦ ὁ Αἰθαλίδης τὸ τὴν ψυχὴν αὐτοῦ ποτὲ μὲν ἐν Ἅιδου ποτὲ δὲ ἐν τοῖς ὑπὲρ τὴν γῆν τόποις εἶναι.

**B 9** = Héródiános, Περι μονηρους λέξεως 7, 4
εἰ δέ τις λέγει ᾿καὶ ἡ Ῥέα Ῥῆ κέκληται ὑπὸ τοῦ Συρίου᾿, ἴστω ὅτι αὐτοῦ ἴδιος ἡ χρῆσις.

**B 10** = Apollónios Dyskolos Gramm., De pronominibus; p. 65,15 Schn.
καὶ Φερεκύδης ἐν τῆι Θεολογίαι καὶ ἔτι Δημόκριτος (68 B 13) ... συνεχέστερον χρῶνται τῆι ἐμεῦ καὶ ἔτι τῆι ἐμέο.

**B 11** = Apollónios Dyskolos Gramm., De pronominibus; p. 93,1 (I,92)
Aἱ πληθυντικαὶ καὶ κοινολεκτοῦνται κατ' εὐθεῖαν πρός τε Ἰώνων καὶ Ἀττικῶν, ἡμεῖς, ὑμεῖς, σφεῖς, ἔστιν πιστώσασθαι καὶ τὸ ἀδιαίρετον τῆς εὐθείας [ἡμεῖς, ὑμεῖς, σφεῖς] παρ᾽ Ἴωσιν ἐκ τῶν περὶ Δημόκριτον (68 B 29a). Φερεκύδην, Ἑκαταῖον (FGrH I, F 360; I,45).

**B 12** = Diogenés Laertios, Vitae philosophorum I, 119 (A 1)
ἔλεγέ τε ὅτι οἱ θεοὶ τὴν τράπεζαν θυωρὸν καλοῦσιν.

**B 13** = Filodémos, De pietate 47a14-21; p. 19 Gomperz (cfr. Epimenidés B 5)
Čtení Diels-Kranz (jiné čtení má Schibli F 63):
οἱ δὲ Δία καὶ Ἥραν πατέρα καὶ μητέρα θεῶν νομίζουσιν, Πίν[δαρος] δ᾽ [ἐκ] Κυβέ[λης μ]ητρὸς ἐν τῶι ὕμνωι [εἰς] Κυβέ[λαν] ματέρα (fr. 80 Schr.2), Φερε[κύδης] δ᾽ ὁ [Σύ]ριος...

**B 13a** = Plútarchos, De facie in orb. lun. 24; p. 938b
εἰ μὴ νὴ Δία φήσομεν, ὥσπερ ἡ Ἀθηνᾶ τῶι Ἀχιλλεῖ νέκταρός τι καὶ ἀμβροσίας ἐνέσταξε μὴ προσιεμένωι τροφήν, οὕτω τὴν σελήνην, Ἀθηνᾶν λεγομένην καὶ οὖσαν, τρέφειν τοὺς ἄνδρας ἀμβροσίαν ἀνιεῖσαν αὐτοῖς ἐφημέριον, ὡς Φερεκύδης ὁ παλαιὸς οἴεται σιτεῖσθαι τοὺς θεούς.

**B 14** = Lydus Ióannés Laurentius, De mensibus II, 7, 17
τόλμαν δὲ καὶ οἱ περὶ Φερεκύδην ἐκάλεσαν τὴν δυάδα καὶ ὁρμὴν καὶ δόξαν καλοῦσιν, ὅτι τὸ ἀληθὲς καὶ ψευδὲς ἐν δόξηι ἐστί.